**Storia della Lingua Greca – Laurea Magistrale – 12.11.2013**

**Serva per amore**

***Rut* 2**

1 καὶ τῇ Νωεμιν ἀνὴρ γνώριμος τῷ ἀνδρὶ αὐτῆς, ὁ δὲ ἀνὴρ δυνατὸς ἰσχύι ἐκ τῆς
συγγενείας Αβιμελεχ καὶ ὄνομα αὐτῷ Βοος. 2 καὶ εἶπεν Ρουθ ἡ Μωαβῖτις πρὸς Νωεμιν·
"πορευθῶ δὴ εἰς ἀγρὸν καὶ συνάξω ἐν τοῖς στάχυσιν, κατόπισθεν οὗ ἐὰν εὕρω χάριν ἐν
ὀφθαλμοῖς αὐτοῦ". εἶπεν δὲ αὐτῇ· "πορεύου, θύγατερ". 3 καὶ ἐπορεύθη καὶ συνέλεξεν ἐν
τῷ ἀγρῷ κατόπισθεν τῶν θεριζόντων, καὶ περιέπεσεν περιπτώματι τῇ μερίδι τοῦ ἀγροῦ
Βοος τοῦ ἐκ συγγενείας Αβιμελεχ. 4 καὶ ἰδοὺ Βοος ἦλθεν ἐκ Βαιθλεεμ καὶ εἶπεν τοῖς
θερίζουσιν· "κύριος μεθ᾽ ὑμῶν". καὶ εἶπον αὐτῷ· "εὐλογήσαι σε κύριος". 5 καὶ εἶπεν
Βοος τῷ παιδαρίῳ αὐτοῦ τῷ ἐφεστῶτι ἐπὶ τοὺς θερίζοντας· "τίνος ἡ νεᾶνις αὕτη". 6 καὶ
ἀπεκρίθη τὸ παιδάριον τὸ ἐφεστὸς ἐπὶ τοὺς θερίζοντας καὶ εἶπεν· "ἡ παῖς ἡ Μωαβῖτίς
ἐστιν, ἡ ἀποστραφεῖσα μετὰ Νωεμιν ἐξ ἀγροῦ Μωαβ. 7 καὶ εἶπεν· 'συλλέξω δὴ καὶ
συνάξω ἐν τοῖς δράγμασιν ὄπισθεν τῶν θεριζόντων'. καὶ ἦλθεν καὶ ἔστη ἀπὸ πρωίθεν
καὶ ἕως ἑσπέρας οὐ κατέπαυσεν ἐν τῷ ἀγρῷ μικρόν".
8 καὶ εἶπεν Βοος πρὸς Ρουθ· "οὐκ ἤκουσας, θύγατερ, μὴ πορευθῇς ἐν ἀγρῷ συλλέξαι
ἑτέρῳ, καὶ σὺ οὐ πορεύσῃ ἐντεῦθεν; ὧδε κολλήθητι μετὰ τῶν κορασίων μου. 9 οἱ
ὀφθαλμοί σου εἰς τὸν ἀγρόν, οὗ ἐὰν θερίζωσιν, καὶ πορεύσῃ κατόπισθεν αὐτῶν. ἰδοὺ
ἐνετειλάμην τοῖς παιδαρίοις τοῦ μὴ ἅψασθαί σου, καὶ ὅ τι διψήσεις καὶ πορευθήσῃ εἰς
τὰ σκεύη καὶ πίεσαι ὅθεν ἂν ὑδρεύωνται τὰ παιδάρια". 10 καὶ ἔπεσεν ἐπὶ πρόσωπον
αὐτῆς καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν καὶ εἶπεν πρὸς αὐτόν· "τί ὅτι εὗρον χάριν ἐν
ὀφθαλμοῖς σου, τοῦ ἐπιγνῶναί με καὶ ἐγώ εἰμι ξένη;". 11 καὶ ἀπεκρίθη Βοος καὶ εἶπεν
αὐτῇ· "ἀπαγγελίᾳ ἀπηγγέλη μοι ὅσα πεποίηκας μετὰ τῆς πενθερᾶς σου μετὰ τὸ
ἀποθανεῖν τὸν ἄνδρα σου, καὶ πῶς κατέλιπες τὸν πατέρα σου καὶ τὴν μητέρα σου καὶ
τὴν γῆν γενέσεώς σου καὶ ἐπορεύθης πρὸς λαὸν ὃν οὐκ ᾔδεις ἐχθὲς καὶ τρίτης. 12
ἀποτείσαι κύριος τὴν ἐργασίαν σου καὶ γένοιτο ὁ μισθός σου πλήρης παρὰ κυρίου θεοῦ
Ισραηλ πρὸς ὃν ἦλθες πεποιθέναι ὑπὸ τὰς πτέρυγας αὐτοῦ". 13 ἡ δὲ εἶπεν· "εὕροιμι χάριν
ἐν ὀφθαλμοῖς σου, κύριε, ὅτι παρεκάλεσάς με καὶ ὅτι ἐλάλησας ἐπὶ καρδίαν τῆς δούλης
σου. καὶ ἰδοὺ ἐγὼ ἔσομαι ὡς μία τῶν παιδισκῶν σου". 14 ¶ καὶ εἶπεν αὐτῇ Βοος· "ἤδη
ὥρᾳ τοῦ φαγεῖν. πρόσελθε ὧδε καὶ φάγεσαι τῶν ἄρτων καὶ βάψεις τὸν ψωμόν σου ἐν τῷ
ὄξει". καὶ ἐκάθισεν Ρουθ ἐκ πλαγίων τῶν θεριζόντων καὶ ἐβούνισεν αὐτῇ Βοος ἄλφιτον
καὶ ἔφαγεν καὶ ἐνεπλήσθη καὶ κατέλιπεν. 15 καὶ ἀνέστη τοῦ συλλέγειν καὶ ἐνετείλατο
Βοος τοῖς παιδαρίοις αὐτοῦ λέγων· "καί γε ἀνὰ μέσον τῶν δραγμάτων συλλεγέτω καὶ
μὴ καταισχύνητε αὐτήν, 16 καὶ βαστάζοντες βαστάξατε αὐτῇ καί γε παραβάλλοντες
παραβαλεῖτε αὐτῇ ἐκ τῶν βεβουνισμένων, καὶ ἄφετε καὶ συλλέξει καὶ οὐκ ἐπιτιμήσετε
αὐτῇ".
17 καὶ συνέλεξεν ἐν τῷ ἀγρῷ ἕως ἑσπέρας καὶ ἐρράβδισεν ἃ συνέλεξεν καὶ ἐγενήθη ὡς
οιφι κριθῶν. 18 καὶ ἦρεν καὶ εἰσῆλθεν εἰς τὴν πόλιν καὶ εἶδεν ἡ πενθερὰ αὐτῆς ἃ
συνέλεξεν, καὶ ἐξενέγκασα Ρουθ ἔδωκεν αὐτῇ ἃ κατέλιπεν ἐξ ὧν ἐνεπλήσθη. 19 καὶ εἶπεν
αὐτῇ ἡ πενθερὰ αὐτῆς· "ποῦ συνέλεξας σήμερον καὶ ποῦ ἐποίησας; εἴη ὁ ἐπιγνούς σε
εὐλογημένος". καὶ ἀπήγγειλεν Ρουθ τῇ πενθερᾷ αὐτῆς ποῦ ἐποίησεν καὶ εἶπεν· "τὸ
ὄνομα τοῦ ἀνδρός μεθ᾽ οὗ ἐποίησα σήμερον Βοος". 20 καὶ εἶπεν Νωεμιν τῇ νύμφῃ
αὐτῆς· "εὐλογητός ἐστιν τῷ κυρίῳ ὅτι οὐκ ἐγκατέλιπεν τὸ ἔλεος αὐτοῦ μετὰ τῶν
ζώντων καὶ μετὰ τῶν τεθνηκότων". καὶ εἶπεν αὐτῇ Νωεμιν· "ἐγγίζει ἡμῖν ὁ ἀνήρ, ἐκ
τῶν ἀγχιστευόντων ἡμᾶς ἐστιν". 21 καὶ εἶπεν Ρουθ πρὸς τὴν πενθερὰν αὐτῆς· "καί γε ὅτι
εἶπεν πρός με· 'μετὰ τῶν παιδαρίων μου προσκολλήθητι, ἕως ἂν τελέσωσιν ὅλον τὸν
ἀμητόν ὃς ὑπάρχει μοι'". 22 καὶ εἶπεν Νωεμιν πρὸς Ρουθ τὴν νύμφην αὐτῆς· "ἀγαθόν,
θύγατερ, ὅτι ἐπορεύθης μετὰ τῶν κορασίων αὐτοῦ, καὶ οὐκ ἀπαντήσονταί σοι ἐν ἀγρῷ
ἑτέρῳ". 23 καὶ προσεκολλήθη Ρουθ τοῖς κορασίοις Βοος συλλέγειν, ἕως οὗ συνετέλεσεν
τὸν θερισμὸν τῶν κριθῶν καὶ τῶν πυρῶν καὶ ἐκάθισεν μετὰ τῆς πενθερᾶς αὐτῆς.

## Cristianesimo e schiavi

### *Filem.*

1 Παῦλος, δέσμιος Χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς Φιλήμονι τῷ ἀγαπητῷ καὶ
συνεργῷ ἡμῶν 2 καὶ Ἀπφίᾳ τῇ ἀδελφῇ καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ᾿
οἶκόν σου ἐκκλησίᾳ, 3 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ
Χριστοῦ.
4 εὐχαριστῶ τῷ θεῷ μου πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, 5
ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν, ἣν ἔχεις πρὸς τὸν κύριον Ἰησοῦν καὶ εἰς πάντας
τοὺς ἁγίους, 6 ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς
ἀγαθοῦ τοῦ ἐν ἡμῖν εἰς Χριστόν. 7 χαρὰν γὰρ πολλὴν ἔσχον καὶ παράκλησιν ἐπὶ τῇ
ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ.
8 διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον 9 διὰ τὴν ἀγάπην
μᾶλλον παρακαλῶ, τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης νυνὶ δὲ καὶ δέσμιος Χριστοῦ
Ἰησοῦ· 10 παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς, Ὀνήσιμον,
11 τόν ποτέ σοι ἄχρηστον νυνὶ δὲ [καὶ] σοὶ καὶ ἐμοὶ εὔχρηστον, 12 ὃν ἀνέπεμψά σοι,
αὐτόν, τοῦτ᾿ ἔστιν τὰ ἐμὰ σπλάγχνα· 13 ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα
ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου, 14 χωρὶς δὲ τῆς σῆς γνώμης
οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ ἀλλὰ κατὰ ἑκούσιον.
15 τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, 16 οὐκέτι ὡς
δοῦλον ἀλλ᾿ ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν
σαρκὶ καὶ ἐν κυρίῳ.
17 εἰ οὖν με ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. 18 εἰ δέ τι ἠδίκησέν σε ἢ ὀφείλει,
τοῦτο ἐμοὶ ἐλλόγα. 19 ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω· ἵνα μὴ λέγω σοι
ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. 20 ναὶ ἀδελφέ, ἐγώ σου ὀναίμην ἐν κυρίῳ·
ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Χριστῷ.
21 πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ἃ λέγω ποιήσεις. 22 ἅμα δὲ
καὶ ἑτοίμαζέ μοι ξενίαν· ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.
23 ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, 24 Μᾶρκος,
Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.
25 ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν.